ἐπιστάμενος μανθάνων γίνηται καὶ λαμβάνων ἐπιστήμην ἀπὸ τοῦ ἐντελεχείᾳ ἐπιστήμονος καὶ διδακτικοῦ, ἢ οὐ δεῖ λέγειν αὐτὸν πάσχειν ἁπλῶς καὶ ἀλλοιοῦσθαι, ἢ ῥητέον δύο τρόπους εἶναι ἀλλοιώσεως, ὧν μία μέν ἐστιν κατὰ τὴν εἰς τὰς στερητικὰς διαθέσεις μεταβολήν, τουτέστιν εἰς τὰς ἐναντίας διαθέσεις, ὧν στεροῦνται αἱ πρότερον οὖσαι διαθέσεις, διότι τὸ ἓν τῶν ἐναντίων ἐστὶ στέρησις τοῦ λοιποῦ. Ἄλλη δέ ἐστι κατὰ τὴν εἰς ἕξιν καὶ φύσιν μεταβολήν, τουτέστι καθὸ προσλαμβάνονται τινὲς ἕξεις καὶ εἴδη τῆς φύσεως τελειωτικὰ χωρὶς τοῦ ἀποβάλλειν τι τῶν ἐνυπαρχόντων. Ὁ τοίνυν μανθάνων τὴν ἐπιστήμην οὐκ ἀλλοιοῦται οὐδὲ πάσχει κατὰ τὸν πρῶτον τρόπον, ἀλλὰ κατὰ τὸν δεύτερον.

Ἀλλὰ δοκεῖ ἐναντίον εἶναι τὸ προειρημένον, ὅτι πολλάκις ὁ διδασκόμενος τὴν ἐπιστήμην μεταβάλλεται ἀπὸ τῆς ἐναντίας ἕξεως, καὶ οὕτω δοκεῖ εἶναι τὴν ἀλλοίωσιν αὐτοῦ κατὰ τὴν εἰς τὰς στερητικὰς διαθέσεις μεταβολήν. Ἀλλὰ ῥητέον ὅτι, ὁπόταν τις ἐκ τῆς ἀγνοίας καὶ τῆς πλάνης πρὸς τὴν ἐπιστήμην τῆς ἀληθείας ἀνάγηται, ἔστιν ἐκεῖ ὁμοιότης τις τῆς ἀλλοιώσεως τῆς ἐκ τοῦ ἐναντίου εἰς τοὐναντίον, οὐ μέντοι γε ἀληθῶς ἐστιν ἐκεῖ τοιαύτη ἀλλοίωσις· τῇ γὰρ ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον ἀλλοιώσει ἄμφω ταῦτα καθαυτὸ καὶ οὐσιωδῶς ἁρμόζει τότε, δηλονότι ἐκ τοῦ ἐναντίου εἶναι καὶ τὸ εἰς τοὐναντίον. Ὥσπερ γὰρ ἡ λεύκανσις οὐκ ἔστιν εἰ μὴ εἰς τὸ λευκόν, οὕτως οὐκ ἔστιν εἰ μὴ ἀπὸ τοῦ μέλανος ἢ τοῦ μέσου, ὅπερ πρὸς τὸ λευκὸν μέλαν ἐστὶ τρόπον τινά. Ἀλλ' ἐν τῇ κτήσει τῆς ἐπιστήμης συμβαίνει τὸν κτώμενον τὴν ἐπιστήμην τῆς ἀληθείας γεγονέναι καὶ εἶναι πρότερον ἐν τῇ πλάνῃ· καὶ χωρὶς γὰρ τούτου δύναται εἰσάγεσθαι πρὸς τὴν γνῶσιν τῆς ἀληθείας· ὅθεν οὐκ ἔστιν ἀκριβῶς ἀλλοίωσις ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον.

Ἔτι, ἀπορεῖται τὸ εἰρημένον, ὅτι ὁ λαμβάνων τὴν ἐπιστήμην γίνεται ἐνεργείᾳ ἐπιστήμων ὑπὸ τοῦ ἐνεργείᾳ ἐπισταμένου καὶ διδακτικοῦ· τοῦτο γὰρ οὐκ ἀεὶ γίνεται· τὴν γὰρ ἐπιστήμην πορίζεταί τις καὶ κτᾶται οὐ διδασκόμενος μόνον ὑπὸ τοῦ διδασκάλου, ἀλλ' ἔτι καὶ παρ' ἑαυτοῦ ἀνευρίσκων. Καὶ πρὸς τοῦτο ῥητέον ἐστίν, ὅτι ἀεὶ δεῖ τὸν δυνάμει ἐπιστήμονα, ἂν γένηται ἐνεργείᾳ ἔχων τὴν ἐπιστήμην, ἀπὸ τοῦ ἐνεργείᾳ ὄντος ταύτην πορίζεσθαι. Θεωρεῖν μέντοι γε δεῖ, ὅτι ἐκ δυνάμεως ἄγεταί τις εἰς ἐνέργειαν ποτὲ μὲν ἀπὸ ἐξωτερικῆς ἀρχῆς μόνον, ὥσπερ ὁ ἀὴρ φωτίζεται ἐκ τοῦ ἐνεργείᾳ πεφωτισμένου· ποτὲ δὲ καὶ ἀπὸ ἐνδοτέρας ἀρχῆς καὶ | ἐξω- f. 304$^{v}$
τερικῆς ἅμα, ὥσπερ ὁ ἄνθρωπος ὑγιάζεται καὶ ὑπὸ τῆς φύσεως καὶ ὑπὸ τοῦ ἰατροῦ· ἑκατέρωθεν δὲ ὑγιάζεται πάντως ὑπὸ τῆς ἐνεργείᾳ ὑγείας. Φανερὸν γάρ ἐστιν, ὅτι ἐν τῇ διανοίᾳ τοῦ ἰατροῦ ἔστιν ὁ λόγος τῆς ἰατρείας καὶ τῆς ὑγείας, καθ' ἣν ὑγιάζει. Δεῖ δὲ καὶ ἐν τῷ ὑγιαζομένῳ κατὰ φύσιν εἶναί τι μέρος ὑγιές, δηλονότι καρδίαν, οὗ τῇ δυνάμει τὰ ἄλλα ὑγιάζονται

ΙΩΑΝΝΙΝΑ 2006

μέρη· καὶ ὅταν ὁ ἰατρὸς ὑγιάζῃ, τοῦτον τὸν τρόπον ὑγιάζει, ὥσπερ καὶ ἡ φύσις ὑγιάζεν ἄν, οἷον θερμαίνων, ἢ ψυχραίνων, ἢ ἄλλως πως μεταβάλλων. Ὅθεν ὁ ἰατρὸς οὐδὲν ἄλλο ποιεῖ εἰ μὴ ὅτι βοηθεῖ τῇ φύσει πρὸς τὸ διώσασθαι τὴν νόσον, ἧς βοηθείας ἡ φύσις οὐκ ἂν ἐδεήθη, ἰσχυρὰ οὖσα. Τὸν αὐτὸν δὴ τρόπον ἔχει καὶ ἐπὶ τῆς κτήσεως τῆς ἐπιστήμης. Ὁ γὰρ ἄνθρωπος προσλαμβάνει τὴν ἐπιστήμην καὶ ὑπὸ ἐνδοτέρας ἀρχῆς εὑρίσκων αὐτός, καὶ ὑπὸ ἐξωτερικῆς, ὅταν διδάσκηται· ἑκατέρως δὲ ἄγεται ἐκ δυνάμεως εἰς ἐνέργειαν ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος. Ὁ γὰρ ἄνθρωπος τῷ φωτὶ τοῦ ποιοῦντος νοῦ εὐθὺς γινώσκει ἐνεργείᾳ τὰς φύσει γινωσκομένας πρώτας ἀρχάς, καὶ ἐξ ἐκείνων πλέκων τὰ συμπεράσματα διὰ τοῦ ἐνεργείᾳ γινωσκομένου εἰς τὴν ἐνεργείᾳ γνῶσιν καταντᾷ τῶν δυνάμει πρότερον ὑπ' αὐτοῦ γινωσκομένων, καὶ τοῦτον τὸν τρόπον ὁ ἔξωθεν διδάσκων βοηθεῖ πρὸς τὸ ἐπίστασθαι, ἐκ τῶν ἀρχῶν δηλονότι τῶν τῷ διδασκομένῳ γνωρίμων ἀνάγων αὐτὸν δι' ἀποδείξεων πρὸς τὰ πρότερον ἀγνοούμενα συμπεράσματα, ὃ δὴ βοήθημα ἀναγκαῖον οὐκ ἂν ἦν τῷ ἀνθρώπῳ, εἰ τοσοῦτον εἶχε διορατικὸν τὸν νοῦν ὥστε δι' ἑαυτοῦ δύνασθαι ἐκ τῶν ἐγνωσμένων ἀρχῶν εἰδέναι τὰ συμπεράσματα, ὃ δὴ διορατικὸν τοῖς ἀνθρώποις πρόσεστι κατὰ τὸ μᾶλλον καὶ ἧττον.

## Leçon XII.

Τοῦ δὲ αἰσθητικοῦ. Διακρίνας ὁ Φιλόσοφος τὴν δύναμιν καὶ τὴν ἐντελέχειαν καὶ δείξας πῶς τι ἔξεισιν ἐκ δυνάμεως εἰς ἐνέργειαν περὶ τὸν νοῦν, νῦν ἐφαρμόζει καὶ τῇ αἰσθήσει τὸ περὶ τοῦ νοῦ εἰρημένον· καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον, δείκνυσι πῶς περὶ τὴν αἴσθησιν ἔξεισί τι εἰς ἐνέργειαν ἐκ δυνάμεως· δεύτερον, δείκνυσι τὴν διαφορὰν τὴν μεταξὺ τῆς αἰσθήσεως καὶ τοῦ νοῦ, ἐν τῷ· Διαφέρει δέ· τρίτον, συμπεραίνει ἐπιλέγων τὰ περὶ αἰσθήσεως εἰρημένα, ἐν τῷ· Νῦν δέ. Δεῖ δὲ θεωρεῖν περὶ τὸ πρῶτον ὅτι, ὥσπερ ἔστιν ἐν τῇ ἐπιστήμῃ διπλῆ δύναμις καὶ διπλῆ ἐνέργεια, οὕτως ἐστὶ καὶ περὶ τὴν αἴσθησιν· τὸ γὰρ μήπω ἔχον αἴσθησιν, πεφυκὸς δὲ ἔχειν, ἔστιν ἐν δυνάμει πρὸς τὴν αἴσθησιν· καὶ τὸ ἤδη μὲν ἔχον αἴσθησιν, μήπω δὲ αἰσθανόμενον, δυνάμει ἐστὶν αἰσθανόμενον, ὥσπερ ἐπὶ τῆς ἐπιστήμης ἐλέγετο. Ὥσπερ δὲ ἐκ τῆς πρώτης δυνάμεως μεταβάλλει τι εἰς τὴν πρώτην ἐνέργειαν προσλαμβάνον τὴν ἐπιστήμην διὰ μαθήσεως, οὕτω καὶ ἐκ τῆς πρώτης δυνάμεως κατὰ τὴν αἴσθησιν μεταβάλλει τι εἰς τὴν ἐνέργειαν, ὥστε ἔχειν δηλονότι τὴν αἴσθησιν διὰ γενέσεως. Ἡ γὰρ αἴσθησις φύσει ἔνεστι τῷ ζῴῳ· ὅθεν ὥσπερ διὰ γενέσεως λαμβάνει τὴν οἰκείαν φύσιν καὶ τὸ εἶδος, οὕτω λαμβάνει καὶ τὴν αἴσθησιν. Ἄλλως δέ ἐστιν ἐπὶ τῆς ἐπιστήμης, ἥτις οὐκ ἔνεστι τῷ ἀνθρώπῳ διὰ τῆς φύσεως,

---

1-3 *ὥσπερ — εἰ μὴ ὅτι* en marge B 17 *εἰδέναι* om et laissé en blanc A 29 *δὲ* om B

Ε. Λ. της Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀλλὰ παραγίνεται δι' εὑρέσεως, ἢ μαθήσεως. Τοῦτο τοίνυν ἐστὶν ὃ λέγει, ὅτι ἡ πρώτη μεταβολὴ τοῦ αἰσθητικοῦ γίνεται παρὰ τοῦ γεννῶντος· ὀνομάζει δὲ πρώτην μεταβολὴν τὴν ἐξ εἰλικρινοῦς δυνάμεως εἰς τὴν πρώτην ἐνέργειαν· αὕτη δὲ ἡ μεταβολὴ γίνεται ὑπὸ τοῦ γεννῶντος. Διὰ γὰρ τῆς ἐν τῷ σπέρματι δυνάμεως προάγεται ἡ αἰσθητικὴ ψυχὴ ἐκ δυνάμεως εἰς ἐντελέχειαν μετὰ πασῶν τῶν αὐτῆς δυνάμεων. Ὅταν δὲ τὸ ζῷον ἤδη γεννηθῇ, τότε ἔχει τὴν αἴσθησιν, ὥσπερ ἔχει τις τὴν ἐπιστήμην, ὅταν ἤδη μεμαθηκὼς ᾖ. Ἀλλ' ὅταν ἤδη αἰσθάνηται κατ' ἐνέργειαν, τότε ἔχει ὡς ὁ ἐνεργῶν κατὰ τὴν ἐπιστήμην, τουτέστιν ὁ ἐνεργείᾳ θεωρῶν.

Διαφέρει δέ. Θεὶς τὴν ἐν τῷ ἐνεργείᾳ αἰσθάνεσθαί τε καὶ θεωρεῖν ὁμοιότητα, ἐνταῦθα, δεύτερον, βούλεται δεικνύναι τὴν ἐν τούτοις διαφοράν, ἧς δὴ διαφορᾶς τὴν αἰτίαν ἀποδιδόναι ἄρχεται ἐκ τῆς διαφορᾶς τῶν ἀντικειμένων, δηλονότι τῶν | f. 305 αἰσθητῶν καὶ τῶν νοητῶν τῶν ἐνεργείᾳ αἰσθανομένων καὶ νοουμένων. Τὰ γὰρ αἰσθητά, ἅπερ εἰσὶ ποιητικὰ τῆς αἰσθητικῆς ἐνεργείας, δηλονότι τὸ ὁρατὸν καὶ ἀκουστὸν καὶ τὰ τοιαῦτα, εἰσὶν ἔξω τῆς ψυχῆς· οὗ δὴ αἰτία ἐστίν, ὅτι ἡ κατ' ἐνέργειαν αἴσθησις ἐστι τῶν μερικῶν, ἅπερ εἰσὶν ἔξω τῆς ψυχῆς. Ἀλλ' ἡ ἐπιστήμη ἐστι τῶν καθόλου, ἅπερ τρόπον τινὰ εἰσὶν ἐν τῇ ψυχῇ· ἐξ οὗ φαίνεται, ὅτι ὁ ἤδη ἔχων τὴν ἐπιστήμην οὐ ζητεῖ ἔξω τὰ ἴδια ἀντικείμενα, ἀλλ' ἐν ἑαυτῷ ταῦτα ἔχει· ὅθεν δύναται θεωρεῖν αὐτά, ὅτε θέλει, ἂν μὴ κατὰ συμβεβηκὸς ἐμποδίζηται. Ἀλλ' αἰσθάνεσθαι οὐ δύναταί τις, ὅταν θέλῃ, διὰ τὸ τὰ αἰσθητὰ μὴ ἔχειν ἐν ἑαυτῷ, ἀλλὰ δεῖν παρεῖναι αὐτῷ ἔξωθεν. Καὶ ὥσπερ ἔχει ἐπὶ τῆς ἐνεργείας τῶν αἰσθήσεων, οὕτως ἔχει κἀν ταῖς ἐπιστήμαις τῶν αἰσθητῶν, διότι καὶ τὰ αἰσθητὰ εἰσὶν ἐκ τοῦ ἀριθμοῦ τῶν μερικῶν καὶ τῶν ἔξω τῆς ψυχῆς ὄντων. Ὅθεν ὁ ἄνθρωπος οὐ δύναται θεωρεῖν κατ' ἐπιστήμην πάντα ἃ θέλει, ἀλλ' ἐκεῖνα μόνον ὧν τῇ αἰσθήσει ἀντιλαμβάνεται. Ἀλλὰ τὸ κατ' ἀκρίβειαν διορίσασθαι περὶ τούτων, γένοιτ' ἂν καιρὸς καὶ εἰσαῦθις, ἐν τῷ τρίτῳ δηλονότι, ὅπου περὶ τοῦ νοῦ καὶ τῆς παραθέσεως αὐτοῦ πρὸς τὴν αἴσθησιν δεήσει πραγματεύσασθαι. Περὶ δὲ τὰ ἐνταῦθα εἰρημένα, θεωρητέον ἐστὶ διατί ἡ αἴσθησις τῶν μερικῶν ἐστιν, ἡ δὲ ἐπιστήμη τῶν καθόλου, καὶ πῶς τὰ καθόλου εἰσὶν ἐν τῇ ψυχῇ.

Ἰστέον τοίνυν περὶ τὸ πρῶτον, ὅτι ἡ αἴσθησις δύναμίς ἐστιν ἐν ὀργάνῳ σωματικῷ, ὁ δὲ νοῦς ἄϋλός ἐστι δύναμις καὶ οὐκ ἔστιν οὐδενὸς ὀργάνου σωματικοῦ, ἕκαστον δὲ λαμβάνεται ἔν τινι κατὰ τὸν αὐτοῦ τρόπον. Πᾶσα δὲ γνῶσις γίνεται διὰ τοῦ τὸ γνωστὸν εἶναι κατά τινα τρόπον ἐν τῷ γινώσκοντι καθ' ὁμοιότητα· τὸ γὰρ ἐνεργείᾳ γινῶσκον αὐτό ἐστι τὸ γινωσκόμενον ἐνεργείᾳ. Δεῖ τοίνυν τὴν αἴσθησιν σωματικῶς δέχεσθαι τὴν

---

2-4 *ὀνομάζει — ὑπὸ τοῦ γεννῶντος* om B 7 *τις* om B 21 *ὅτε θέλει* B
27 *ἀλλὰ τὸ κατ' ἀκρίβειαν*: sic codd. On attendrait *τοῦ*

Ε.Υ. Ζώης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁμοιότητα τοῦ αἰσθητοῦ πράγματος· ὁ δὲ νοῦς δέχεται τὴν ὁμοιότητα αὐτοῦ νοερῶς, ἀσωμάτως καὶ ἀΰλως· ἡ δὲ ἀτομότης τῆς κοινῆς ὕλης ἐν τοῖς σωματικοῖς καὶ ὑλικοῖς πράγμασιν ἐκ τῆς ὕλης ἐστὶ τῆς σωματικῆς ὑπὸ διωρισμέναις διαστάσεσι περιεχομένη· τὸ δὲ καθόλου ἐστὶ κατὰ ἀφαίρεσιν ἀπὸ τῆς τοιαύτης ὕλης καὶ τῶν ὑλικῶν ἰδιωμάτων τῶν ἀτομιζόντων τὰ πράγματα. Δῆλον οὖν ἐστίν, ὅτι ἡ ὁμοιότης τοῦ πράγματος, ἡ τῇ αἰσθήσει προσειλημμένη, παριστᾷ τὸ πρᾶγμα καθό ἐστι μερικόν· ἡ δὲ ἐν τῷ νῷ προσληφθεῖσα παριστᾷ τὸ πρᾶγμα κατὰ τὸν λόγον τῆς καθόλου φύσεως· κἀντεῦθεν ἐστὶ τὸ τὴν μὲν αἴσθησιν γινώσκειν τὰ μερικά, τὸν δὲ νοῦν τὰ καθόλου, καὶ τούτων εἶναι τὰς ἐπιστήμας. Περὶ δὲ τὸ δεύτερον δεῖ θεωρεῖν, ὅτι τὸ καθόλου δυνατὸν λαμβάνεσθαι διχῶς· ἕνα μὲν τρόπον δύναται λέγεσθαι καθόλου αὐτὴ ἡ κοινὴ φύσις, καθὼς ὑπόκειται τῇ ἐπινοίᾳ τοῦ καθόλου· ἄλλον δὲ τρόπον, καθαυτό, ὥσπερ καὶ τὸ λευκὸν διχῶς λέγεσθαι δύναται· ἢ τοῦτο ᾧ συμβέβηκεν εἶναι λευκῷ, ἢ αὐτὸ τὸ καθὸ ὑπόκειται τῇ λευκότητι. Αὕτη δὲ ἡ φύσις ἥτινι προσγίνεται ἡ τοῦ καθόλου ἐπίνοια, οἷον ἡ φύσις τοῦ ἀνθρώπου, ἔχει διπλοῦν εἶναι· ἓν μὲν φυσικόν, καθό ἐστιν ἐν τῇ φυσικῇ ὕλῃ· ἄλλο δὲ ἄϋλον, καθό ἐστιν ἐν τῷ νῷ. Καθὸ τοίνυν ἔχει τὸ εἶναι ἐν τῇ φυσικῇ ὕλῃ, οὐ δύναται προσεῖναι αὐτῇ ἡ τοῦ καθόλου ἐπίνοια, διότι διὰ τῆς ὕλης ἀτομίζεται. Πρόσεστι τοίνυν αὐτῇ ἡ τοῦ καθόλου ἐπίνοια, καθὸ ἀφαιρεῖται ἀπὸ τῆς ἀτομικῆς ὕλης. Οὐκ ἔστι δὲ δυνατὸν ἀφαιρεῖσθαι αὐτὴν ἐκ τῆς ἀτομικῆς ὕλης πραγματικῶς, ὡς οἱ Πλατωνικοὶ ἐτίθεσαν· οὐ γάρ ἐστιν ἄνθρωπος εἰ μὴ ἐν ταύταις ταῖς σαρξὶ καὶ ἐν τούτοις τοῖς ὀστέοις, ὡς ὁ Φιλόσοφος ἀποδείκνυσιν ἐν τῷ τῶν μετὰ τὰ φυσικά. Καταλείπεται τοίνυν τὴν ἀνθρωπίνην φύσιν μὴ ἔχειν τὸ εἶναι ἄνευ τῶν ἀτομιζουσῶν ἀρχῶν εἰ μὴ μόνον ἐν τῷ νῷ· οὐδὲ ὁ νοῦς διαψεύδεται καταλαμβάνων τὴν φύσιν εἶναι χωρὶς τῶν τοιούτων ἀρχῶν, ὧν ἄνευ εἶναι οὐ δύναται ἐν τῇ τῶν πραγμάτων φύσει· οὐ γὰρ καταλαμβάνει τοῦτο ὁ νοῦς, ὅτι ἡ κοινὴ φύσις ἐστὶ χωρὶς τῶν ἀτομιζουσῶν ἀρχῶν, ἀλλὰ καταλαμβάνει τὴν κοινὴν φύσιν μὴ συμπεριλαμβάνων τὰς ἀτομιζούσας ἀρχάς· καὶ τοῦτο οὐκ ἔστι ψεῦδος. Τὸ μέντοι
f. 305v γε πρῶτον ψεῦδος ἂν ἦν, ὥσπερ εἰ τοῦ λευκοῦ ἀνθρώπου χωρίσαιμι | τὴν λευκότητα τοῦτον τὸν τρόπον ὥστε νοεῖν αὐτὸν μὴ εἶναι λευκόν· εἴη ἂν αὕτη ἡ κατάληψις ψευδής. Εἰ δὲ οὕτω χωρίσαιμι τὴν λευκότητα τοῦ ἀνθρώπου, ὥστε νοεῖν τὸν ἄνθρωπον μὴ νοῶν περὶ τῆς λευκότητος αὐτοῦ, οὐκ ἂν εἴη ψευδὴς ἡ κατάληψις αὕτη. Οὐ τοίνυν ἀπαιτεῖται πρὸς τὴν ἀλήθειαν τῆς καταλήψεως τὸ νοεῖν πρᾶγμά τι νοοῦντα τὰ ἐνυπάρχοντα αὐτῷ πάντα. Οὕτω τοίνυν ὁ νοῦς χωρὶς τινὸς ψεύδους ἀφαιρεῖ τὸ γένος ἐκ τῶν εἰδῶν, καθόσον νοεῖ τὴν φύσιν τοῦ γένους μὴ νοῶν καὶ τὰς δια-

21 *ἐκ*: *ἀπὸ* B

ΙΩΑΝΝΙΝΑ 2006

φορᾶς. Ὡσαύτως καὶ τὸ εἶδος ἀφαιρεῖ ἀπὸ τῶν ἀτόμων, καθόσον νοεῖ τὴν φύσιν τοῦ εἴδους μὴ νοῶν τὰς ἀτομικὰς ἀρχάς. Οὕτω τοίνυν φανερόν, ὅτι τῇ κοινῇ φύσει οὐ δύναται ἀποδίδοσθαι ἡ τοῦ καθόλου ἐπίνοια εἰ μὴ κατὰ τὸ εἶναι ὅπερ ἔχει ἐν τῷ νῷ· οὕτω γὰρ μόνον ἕν ἐστι κατὰ πολλῶν ὡς ἄνευ τῶν ἀρχῶν νοούμενον, αἷς τὸ ἓν εἰς πολλὰ διαιρεῖται. Ὅθεν καταλείπεται τὰ καθόλου, καθὸ καθόλου, μὴ εἶναι εἰ μὴ ἐν τῇ ψυχῇ. Αὗται δὲ αἱ φύσεις, αἷς συμβέβηκεν ἡ τοῦ καθόλου ἐπίνοια, εἰσὶν ἐν τοῖς πράγμασι, καὶ διὰ τοῦτο τὰ κοινὰ ὀνόματα, τὰ σημαίνοντα τὰς φύσεις αὐτάς, κατηγοροῦνται κατὰ τῶν ἀτόμων, οὐχὶ δὲ καὶ τὰ ὀνόματα τὰ σημαίνοντα τὰς ἐπινοίας· ὁ γὰρ Σωκράτης ἐστὶν ἄνθρωπος, ἀλλ' οὐκ ἔστιν εἶδος, εἰ καὶ ὁ ἄνθρωπος εἶδος ἐστίν.

Νῦν δὲ διωρίσθω. Ἐνταῦθα, τρίτον, συμπεραίνει ἐπιλέγων καὶ συνάγει τὸ περὶ αἰσθήσεως εἰρημένον, καὶ φησὶν ὅτι· Νῦν δὲ διωρίσθω μόνον, ὅτι οὐχ ἁπλῶς λέγεται τὸ δυνάμει, ἀλλὰ πολλαχῶς· ἕνα μὲν γὰρ τρόπον λέγομεν τὸν παῖδα στρατηγεῖν δύνασθαι κατὰ δύναμιν ἀπῳκισμένην καὶ διεστηκυῖαν· ἄλλον δὲ τρόπον δύνασθαι λέγομεν στρατηγεῖν, ὅταν ἤδη ἐν ἡλικίᾳ τελείᾳ γένηται, καὶ τοῦτο κατὰ δύναμιν προσεχῆ. Ὁμοίως ἔχει κἀπὶ τοῦ αἰσθητικοῦ· λέγεται γάρ τις ἐν δυνάμει εἶναι πρὸς τὸ αἰσθάνεσθαι, ὡς ἤδη εἴρηται· κἂν μὴ ᾖ ὀνόματα ἴδια κείμενα, οἷς ἂν ἡ διαφορὰ δεικνύοιτο τούτων τῶν δυνάμεων· διώρισται μέντοι ὅτι αὗται αἱ δυνάμεις ἕτεραι ἀλλήλων εἰσί, καὶ πῶς εἰσιν ἕτεραι, καὶ εἰ τὸ ἀλλοιοῦσθαι καὶ πάσχειν οὐ λέγεται κυρίως, καθό τι πρόεισιν εἰς ἐνέργειαν ἐκ τῆς δευτέρας δυνάμεως, οἷον ὡς τὸ ἔχον αἴσθησιν γίνεται ἐνεργείᾳ αἰσθανόμενον, ἀνάγκη μέντοι χρῆσθαι τούτῳ τῷ πάσχειν καὶ ἀλλοιοῦσθαι, ὥσπερ ἂν εἰ ἦσαν ὀνόματα κύρια καὶ οἰκεῖα, διότι τὸ δυνάμει αἰσθητικὸν ἐστὶν ὁποῖον τυγχάνει τὸ ἐνεργείᾳ αἰσθητόν, καὶ διὰ τοῦτο ἕπεται, καθὸ πάσχει ἀπ' ἀρχῆς, μὴ εἶναι ὅμοιον, ἀλλὰ καθὸ ἤδη πέπονθεν ὡμοιῶσθαι ἤδη τῷ αἰσθητῷ, καὶ εἶναι τοιοῦτον, ὁποῖον ἐκεῖνο· ὃ διακρίνειν μὴ δυνηθέντες οἱ ἀρχαῖοι ἔθεντο τὴν αἴσθησιν εἶναι συντεθειμένην ἐκ τῶν αἰσθητῶν.

## Leçon XIII.

Λεκτέον δὲ καθεκάστην. Δείξας ὁ Φιλόσοφος πῶς ἔχει ἡ αἴσθησις πρὸς τὰ αἰσθητά, ἄρχεται νῦν διορίσασθαι περὶ τοῦ αἰσθητοῦ καὶ τῆς αἰσθήσεως; καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον μὲν διορίζεται περὶ τῶν αἰσθητῶν· δεύτερον δὲ περὶ τῆς αἰσθήσεως, ἐν τῷ· Δεῖ δὲ καθόλου. Καὶ περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον μὲν διακρίνει τὰ ἴδια αἰσθητὰ ἀπὸ τῶν ἄλλων τρόπων τῶν αἰσθητῶν· δεύτερον, διορίζεται περὶ τῶν

---

19 *ἤδη* om B 34 *περὶ τοῦτο δύο ποιεῖ* om B 35 *δὲ* om B 36 *Καὶ* om B *αὖθις* avant *δύο* add B *γὰρ* après *μὲν* add B

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἰδίων αἰσθητῶν καθ' ἑκάστην αἴσθησιν, ἐν τῷ· Οὗ μὲν οὖν. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, τίθησι τὴν διαίρεσιν τῶν αἰσθητῶν· δεύτερον, ἐξηγεῖται τὰ μέλη τῆς διαιρέσεως, ἐν τῷ· Λέγω δὲ ἴδιον, καὶ τὰ λοιπά.

Λέγει τοίνυν πρῶτον, ὅτι πρὸ τοῦ διορίσασθαι περὶ τῆς αἰσθήσεως, τί ἐστί, δεῖ πρῶτον λέγειν περὶ τῶν αἰσθητῶν καθ' ἑκάστην αἴσθησιν, διότι τὰ ἀντικείμενα εἰσὶ προοδοποιητικὰ τῶν δυνάμεων, τὰ δὲ αἰσθητὰ τρισὶ τρόποις λέγονται· ἑνὶ μὲν κατὰ συμβεβηκός, δυσὶ δὲ καθαυτά, ὧν θατέρῳ μὲν λέγονται αἰσθητὰ τὰ ἴδια ἑκάστης αἰσθήσεως, θατέρῳ δέ, ὧν κοινῇ πᾶσαι αἱ αἰσθήσεις αἰσθάνονται.

Λέγω δέ. Ἐνταῦθα ἐξηγεῖται τὰ μέλη τῆς διαιρέσεως καὶ διαιρεῖται εἰς τρία μέρη, καὶ ἐν ἑκάστῳ τούτων ἐξηγεῖται περὶ ἑκάστου τῶν τῆς διαιρέσεως μερῶν. Ἐξηγεῖται τοίνυν πρῶτον ἐνταῦθα τίνα εἰσὶ τὰ ἴδια αἰσθητά, καὶ φησὶν ὅτι ἴδιον αἰσθητόν ἐστιν ὅπερ οὕτως αἰσθάνεται μιᾷ αἰσθήσει ὡς μὴ δύνασθαι ἄλλῃ αἰσθήσει αἰσθάνεσθαι καὶ περὶ ὃ οὐ δυνατὸν ἀπατηθῆναι τὴν αἴσθησιν, ὥσπερ ἡ ὄψις ἰδίως ἐστὶ γνωστικὴ τοῦ χρώματος, καὶ ἡ ἀκοὴ τοῦ ψόφου, καὶ ἡ γεῦσις τοῦ χυμοῦ. Ἀλλ' ἡ ἁφὴ ἔχει πλείους διαφορὰς ἀφωρισμένας αὐτῇ· γινώσκει γὰρ τὸ θερμὸν καὶ τὸ ψυχρόν, τὸ ὑγρὸν καὶ ξηρόν, τὸ βαρὺ καὶ τὸ κοῦφον καὶ πολλὰ
f. 306 ἄλλα. Ἑκάστη δὲ τούτων τῶν | αἰσθήσεων κρίνει περὶ τῶν ἰδίων αἰσθητῶν καὶ οὐκ ἀπατᾶται ἐν αὐτοῖς, ὥσπερ ἡ ὅρασις οὐκ ἀπατᾶται, ὅτι οὐκ ἔστι τοιοῦτον χρῶμα, οὐδὲ ἡ ἀκοὴ ἀπατᾶται περὶ τοῦ ψόφου, ἀλλὰ περὶ τὰ αἰσθητὰ κατὰ συμβεβηκός, ἢ τὰ κοινὰ ἀπατῶνται αἱ αἰσθήσεις, ὥσπερ ἡ ὄψις ἀπατᾶται, εἰ βούλοιτο κρίνειν ὁ ἄνθρωπος δι' αὐτῆς τί ἐστι τὸ κεχρωσμένον, ἢ ποῦ ἐστίν· ὁμοίως ἀπατᾶταί τις καὶ εἰ βούλοιτο κρίνειν διὰ τῆς ἀκοῆς τί ἐστι τὸ ψοφοῦν. Ταῦτα τοίνυν εἰσὶν ἴδια αἰσθητὰ ἑκάστης αἰσθήσεως.

Κοινὰ δέ. Ἐνταῦθα, δεύτερον, ἐξηγεῖται τὸ δεύτερον μέλος τῆς διαιρέσεως λέγων, ὅτι τὰ κοινὰ αἰσθητά εἰσι ταῦτα τὰ πέντε· κίνησις, ἠρεμία, ἀριθμός, σχῆμα καὶ μέγεθος· ταῦτα γὰρ οὐδεμιᾶς αἰσθήσεως εἰσὶν ἴδια, ἀλλὰ πάσαις κοινά, ὅπερ οὐ δεῖ νοεῖν οὕτως, ὡς πάντων τούτων κοινῶν ὄντων ἁπάσαις, ἀλλ' ὅτιπερ ἔνια αὐτῶν, οἷον ἀριθμός, κίνησις καὶ ἠρεμία, εἰσὶ κοινὰ πάσαις ταῖς αἰσθήσεσιν. Ἡ δὲ ἁφὴ καὶ ἡ ὄψις καταλαμβάνουσιν ἅπαντα, τουτέστι τὰ πέντε. Οὕτω τοίνυν δῆλον τίνα εἰσὶ καθαυτὰ αἰσθητά.

Κατὰ συμβεβηκός. Ἐνταῦθα, τρίτον, ἐξηγεῖται τὸ τρίτον μέλος τῆς διαιρέσεως, καὶ φησὶν ὅτι κατὰ συμβεβηκὸς αἰσθητὸν λέγεται ὡς ἐὰν

---

2 *αὖθις*: *πάλιν* B 16 *ἰδία* B 21 *οὐκ* om B 24-26 *τὸ κεχρωσμένον — ἐστι* om B

Ε. Γ. ... Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

εἴπωμεν, ὅτι ὁ Διάρης, ἢ ὁ Σωκράτης ἐστὶν αἰσθητὸν κατὰ συμβεβηκός, διότι συμβέβηκεν αὐτῷ εἶναι λευκῷ· τοῦτο γὰρ αἰσθάνεται κατὰ συμβεβηκός, διότι συμβέβηκε τῷ καθαυτὸ αἰσθητῷ· συμβέβηκε δὲ τῷ λευκῷ τῷ καθαυτὸ αἰσθητῷ τὸ εἶναι Διάρη· ὅθεν ὁ Διάρης ἐστὶν αἰσθητὸν κατὰ συμβεβηκός. Ὅθεν ἡ αἴσθησις οὐδὲν πάσχει ὑπὸ τούτου καθὸ τοιοῦτον. Εἰ δὲ καὶ τὰ κοινὰ αἰσθητὰ καὶ τὰ ἴδια εἰσὶ καθ᾽ αὑτὰ αἰσθητά, ὅμως τὰ ἴδια αἰσθητὰ εἰσὶ κυρίως καθ᾽ αὑτὰ αἰσθητά, διότι ἡ οὐσία ἑκάστης αἰσθήσεως καὶ ὁ λόγος αὐτῆς ἐστὶν ἐν τῷ πεφυκέναι πάσχειν ὑπὸ τοῦ τοιοῦδε αἰσθητοῦ. Ὁ γὰρ ἑκάστης δυνάμεως λόγος συνίσταται ἐν τῇ σχέσει τῇ πρὸς τὸ ἴδιον ἀντικείμενον.

Ἀπορεῖται δὲ περὶ τῆς διακρίσεως τῶν κοινῶν αἰσθητῶν ἀπὸ τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν. Ὥσπερ γὰρ τὰ κατὰ συμβεβηκὸς αἰσθητὰ οὐ καταλαμβάνονται εἰ μὴ καθόσον γινώσκονται τὰ ἴδια αἰσθητά, οὕτως οὐδὲ τὰ κοινὰ αἰσθητά· οὐδέποτε γὰρ ἡ ὄψις καταλαμβάνει τὸ μέγεθος, ἢ τὸ σχῆμα, εἰ μὴ καθόσον καταλαμβάνει τὸ κεχρωσμένον. Δοκεῖ τοίνυν, ὅτι τὰ κοινὰ αἰσθητὰ εἰσὶ καὶ αἰσθητὰ κατὰ συμβεβηκός· φασὶ γάρ τινες ὅτι τὰ τοιαῦτα κοινὰ αἰσθητὰ οὐκ εἰσὶν αἰσθητὰ κατὰ συμβεβηκὸς διὰ δύο λόγους. Ὁ πρῶτος ἐστίν, ὅτι τὰ τοιαῦτα κοινὰ αἰσθητὰ εἰσὶν ἴδια τῆς κοινῆς αἰσθήσεως, ὥσπερ τὰ ἴδια αἰσθητὰ εἰσὶν ἴδια ἑκάστης αἰσθήσεως. Ὁ δεύτερος, ὅτι τὰ ἴδια αἰθητὰ οὐ δύνανται εἶναι χωρὶς τῶν κοινῶν αἰσθητῶν· δύνανται μέντοι εἶναι χωρὶς τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν. Ἑκατέρα δὲ ἀπόκρισις ἀνάρμοστος ἐστίν· πρῶτον μέν, διότι ψεῦδος ἐστὶ τὸ ταῦτα τὰ κοινὰ αἰσθητὰ εἶναι ἴδια ἀντικείμενα τῆς κοινῆς αἰσθήσεως· ἡ γὰρ κοινὴ αἴσθησις δύναμίς τίς ἐστι πρὸς ἣν περαίνουσιν αἱ πασῶν τῶν αἰσθήσεων μεταβολαί, ὡς ἐν τοῖς μετὰ ταῦτα δειχθήσεται. Ὅθεν ἀδύνατόν ἐστι τὴν κοινὴν αἴσθησιν ἔχειν τι ἴδιον ἀντικείμενον, ὅπερ οὐκ ἔστιν ἀντικείμενον τῆς ἰδίας αἰσθήσεως. Ἀλλὰ περὶ ταύτας τὰς μεταβολὰς τῶν αἰσθήσεων ὑπὸ τῶν ἀντικειμένων αὐτῶν ἔχει ἡ κοινὴ αἴσθησις ἰδίας τινὰς ἐνεργείας, ἃς αἱ ἴδιαι αἰσθήσεις ἔχειν οὐ δύνανται, ὥσπερ τὸ καταλαμβάνειν αὐτὰς τὰς μεταβολὰς τῶν αἰσθήσεων καὶ διακρίνειν τὰ αἰσθητὰ τῶν διαφόρων αἰσθήσεων· τῇ γὰρ κοινῇ αἰσθήσει καταλαμβάνομεν ἡμᾶς αὐτοὺς ὁρᾶν καὶ διαιροῦμεν μεταξὺ λευκοῦ καὶ γλυκέος· εἶτα, δοθέντος τοῦ τὰ κοινὰ αἰσθητὰ εἶναι ἴδια ἀντικείμενα τῆς κοινῆς αἰσθήσεως, οὐκ ἀποκλεισθήσονται διὰ τοῦτο καὶ τοῦ εἶναι αἰσθητὰ κατὰ συμβεβηκὸς ὡς πρὸς τὰ ἴδια αἰσθητά. Οὕτω γὰρ πραγματεύεται ἐνταῦθα περὶ τῶν αἰσθητῶν, καθὸ ἔχουσι σχέσεις πρὸς τὰς αἰσθήσεις αὐτῶν. Ἡ γὰρ δύναμις τῆς κοινῆς αἰσθήσεως οὔπω γέγονε φανερά. Τὸ δὲ ἀντικείμενον τινὸς χθαμαλωτέρας δυνάμεως ἐνδέχεται εἶναι κατὰ συμβεβηκὸς αἰσθητόν, ὡς

23 ταῦτα om B



Ε.Υ.Δ της Κ.Π.Ι. ΙΩΑΝΝΙΝΑ 2006

μετὰ ταῦτα ῥηθήσεται. Οὐδέ ἐστι θαυμαστόν, διότι τὸ καθαυτὸ αἰσθητὸν μιᾷ τῶν ἔξω αἰσθήσεων ἐστὶ κατὰ συμβεβηκὸς αἰσθητὸν τῇ πρὸς ἄλλην αἴσθησιν ἀποβλέψει, ὥσπερ τὸ γλυκὺ κατὰ συμβεβηκὸς ἐστὶν ὁρατόν.

f. 306v Καὶ ὁ δεύτερος δὲ λόγος οὐκ ἔστιν ἁρμόζων· | οὐδὲ γὰρ διαφέρει πρὸς τὸ εἶναι κατὰ συμβεβηκὸς αἰσθητόν, εἰ τὸ ὑποκείμενον τῆς αἰσθητῆς ποιότητος ἐστὶ καθαυτὸ ὑποκείμενον αὐτῆς, εἴτε καὶ μή· οὐδεὶς γὰρ ἂν εἴποι τὸ πῦρ, ὅπερ ἐστὶ καθαυτὸ ὑποκείμενον τῆς θέρμης, εἶναι καθαυτὸ αἰσθητὸν ὑπὸ ἀφῆς. Καὶ διὰ τοῦτο ἄλλως ῥητέον ἐστίν, ὅτι τὸ αἰσθάνεσθαι συνέστηκεν ἐν τῷ πάσχειν τι καὶ ἀλλοιοῦσθαι, ὡς εἴρηται πρότερον. Ὅπερ ἂν τοίνυν ποιοίη διαφορὰν ἐν αὐτῇ τῇ αἰσθήσει, ἢ τῇ ἀλλοιώσει τῆς αἰσθήσεως, ἔχει καθαυτὸ σχέσιν πρὸς τὴν αἴσθησιν, καὶ λέγεται αἰσθητὸν καθαυτό. Ὅπερ δὲ οὐδεμίαν ποιεῖ διαφορὰν περὶ τὴν τῆς αἰσθήσεως μεταβολήν, λέγεται αἰσθητὸν κατὰ συμβεβηκός. Ὅθεν καὶ ἐν τῷ γράμματι φησὶν ὁ Φιλόσοφος, ὅτι ὑπὸ τοῦ κατὰ συμβεβηκὸς αἰσθητοῦ οὐδὲν πάσχει ἡ αἴσθησις καθὸ τοιοῦτον, δύναται δέ τι διαφορὰν ποιεῖν περὶ τὴν μεταβολὴν τῆς αἰσθήσεως διχῶς· ἕνα μὲν τρόπον, ὅσον πρὸς αὐτὸ τὸ εἶδος τοῦ ποιοῦντος· καὶ οὕτω ποιοῦσι διαφορὰν περὶ τὴν μεταβολὴν τῆς αἰσθήσεως τὰ καθαυτὰ αἰσθητά, καθὸ τόδε μέν ἐστι χρῶμα, ἐκεῖνο δὲ ψόφος, τοῦτο μὲν λευκόν, ἐκεῖνο δὲ μέλαν. Αὐτὰ γὰρ τὰ εἴδη τῶν ποιητικῶν ἐν τῇ αἰσθήσει εἰσὶ τὰ ἴδια αἰσθητὰ πρὸς ἅπερ ἔχει φυσικὴν ἐπιτηδειότητα ἡ αἰσθητικὴ δύναμις. Καὶ διὰ τοῦτο κατά τινα διαφορὰν αὐτῶν τῶν αἰσθητῶν ποικίλλονται αἱ αἰσθήσεις. Τινὰ δὲ ἄλλα ποιοῦσι διαφορὰν ἐν τῇ μεταβολῇ τῶν αἰσθήσεων οὐχ ὅσον πρὸς τὸ εἶδος τοῦ δρῶντος, ἀλλ᾽ ὅσον πρὸς τὸν τρόπον τῆς δράσεως. Αἱ γὰρ αἰσθηταὶ ποιότητες κινοῦσι τὴν αἴσθησιν σωματικῶς καὶ κατά τινα θέσιν· ὅθεν ἄλλως κινοῦσι, καθὸ εἰσὶν ἐν τῷ μείζονι, ἢ ἐν τῷ ἐλάττονι σώματι, καὶ καθὸ εἰσὶν ἐν ἄλλῃ καὶ ἄλλῃ θέσει, δηλονότι προσεχεῖ, ἢ ἀπῳκισμένῃ, ἢ τῇ αὐτῇ, ἢ διαφόρῳ. Καὶ τούτῳ τῷ τρόπῳ ποιοῦσι περὶ τὴν μεταβολὴν τῶν αἰσθητῶν τὰ εἰρημένα κοινὰ αἰσθητά. Φανερὸν γάρ ἐστιν, ὅτι κατὰ ταῦτα τὰ πέντε ποικίλλεται τὸ μέγεθος ἢ ἡ θέσις· καὶ διότι οὐκ ἔχουσι σχέσιν πρὸς τὴν αἴσθησιν, ὡς τὰ εἴδη τῶν ποιητικῶν, διὰ τοῦτο κατ᾽ αὐτὰ οὐ ποικίλλονται αἱ αἰσθητικαὶ δυνάμεις, ἀλλὰ μένουσι κοινὰ πλείοσιν αἰσθήσεσι. Θεωρηθέντος τοίνυν πῶς λέγονται τὰ καθαυτὰ αἰσθητά, τὰ κοινὰ καὶ τὰ ἴδια, λείπεται θεωρῆσαι τίνι λόγῳ λέγεταί τι αἰσθητὸν κατὰ συμβεβηκός.

Ἰστέον τοίνυν ὅτι πρὸς τὸ εἶναί τι αἰσθητὸν κατὰ συμβεβηκός, πρῶτον ζητεῖται τὸ συμβαίνειν τῷ καθαυτὸ αἰσθητῷ, ὥσπερ τῷ λευκῷ συμβαίνει τὸ εἶναι ἄνθρωπον καὶ συμβαίνει αὐτῷ τὸ εἶναι γλυκύ· δεύτερον, ζητεῖται ἵνα καταλαμβάνηται ὑπὸ τοῦ αἰσθανομένου. Εἰ γάρ τι συμβέβηκε τῷ

---

9 *τι* om B 12 *δὲ* om B

αἰσθητῷ ὃ λανθάνει τὸν αἰσθανόμενον, οὐκ ἂν λεχθείη κατὰ συμβεβηκὸς αἰσθάνεσθαι. Δεῖ τοίνυν καθαυτὸ γινώσκεσθαι ὑπό τινος ἄλλης δυνάμεως γνωστικῆς τοῦ αἰσθητικοῦ, ἥτις ἐστὶν ἡ ἄλλη αἴσθησις, ἢ νοῦς, ἢ διάνοια, ἢ δόξα. Λέγω δὲ εἶναι ἄλλην αἴσθησιν, ὥσπερ ἐὰν εἴπωμεν, ὅτι τὸ γλυκὺ ἐστὶν ὁρατὸν κατὰ συμβεβηκός, καθόσον γλυκὺ καταλαμβάνεται ὑπὸ τῆς γεύσεως· ἀλλὰ κυρίως βουλομένων ἡμῶν λέγειν, τοῦτο οὐκ ἔστι καθόλου κατὰ συμβεβηκὸς αἰσθητόν, ἀλλὰ κατὰ συμβεβηκὸς ὁρατόν, αἰσθητὸν δὲ καθαυτό. Τὸ τοίνυν ἰδίᾳ αἰσθήσει μὴ γινωσκόμενον, ἂν ᾖ τι καθόλου, καταλαμβάνεται τῷ νῷ· οὐ πᾶν δὲ ὅπερ τῷ νῷ καταλαμβάνεσθαι δυνατὸν ἐν τῷ αἰσθητῷ πράγματι δύναται λέγεσθαι αἰσθητὸν κατὰ συμβεβηκός, ἀλλ' ὅπερ ἅμα ὑπαντῶντος ἡμῖν τοῦ αἰσθητοῦ πράγματος καταλαμβάνεται τῷ νῷ, ὥσπερ ὅταν ἴδω διαλεγόμενον τινά, ἢ κινούμενον ὑφ' ἑαυτοῦ, καταλαμβάνω διὰ τοῦ νοῦ τὴν αὐτοῦ ζωήν· ὅθεν δύναμαι λέγειν, ὅτι βλέπω τὸν δεῖνα ζῆν. Εἰ δὲ καταλαμβάνεται ἐν τῷ καθέκαστον, ὡς ὅταν ὁρῶ τὸ κεχρωσμένον, καταλαμβάνω τοῦτον τὸν ἄνθρωπον, ἢ τοῦτο τὸ ζῷον, ἡ τοιαύτη κατάληψις γίνεται ἐν τῷ ἀνθρώπῳ διὰ τῆς διανοητικῆς δυνάμεως, ἥτις καὶ μερικὸς λέγεται λόγος διὰ τὸ συνακτικὴν εἶναι τῶν ἀτομικῶν ἐπινοιῶν, ὥσπερ ὁ καθόλου λόγος συνακτικός ἐστι τῶν καθόλου λόγων. Οὐδὲν ἧττον μέντοι ἡ τοιαύτη δύναμίς ἐστιν ἐν τῷ αἰσθητικῷ μέρει, διότι ἡ αἰσθητικὴ δύναμις ἐν τῷ ἑαυτῆς ἐσχάτῳ μετέχει τι τῆς νοερᾶς δυνάμεως ἐν τῷ ἀνθρώπῳ, ἐν ᾧ ἡ αἴσθησις συνάπτεται τῷ νῷ· ἐν δὲ τῷ ἀλόγῳ ζῴῳ γίνεται ἡ κατάληψις τῆς ἐπινοίας τῆς ἀτομικῆς διὰ τῆς φυσικῆς ὑπολήψεως | ὥσπερ τὸ πρόβατον διὰ τῆς ὄψεως, ἢ τῆς ἀκοῆς γινώσκει f. 307
τὸν υἱόν, ἢ τοιοῦτόν τι. Διαφόρως μέντοι περὶ τοῦτο ἔχει ἡ διανοητικὴ καὶ δοξαστική· ἡ γὰρ διανοητικὴ καταλαμβάνει τὸ ἄτομον ὡς ὑφεστὼς ἐν τῇ κοινῇ φύσει, ὅπερ συμβαίνει καθόσον ἑνοῦται νοερῶς ἐν τῷ αὐτῷ ὑποκειμένῳ· ὅθεν γινώσκει τοῦτον τὸν ἄνθρωπον ὡς τοῦτον τὸν ἄνθρωπον, καὶ τοῦτο τὸ ξύλον ὡς τουτὶ τὸ ξύλον. Ἡ δὲ δοξαστικὴ οὐ καταλαμβάνει τι ἄτομον, καθόσον ἐστὶν ὑπὸ τῇ κοινῇ φύσει, ἀλλὰ μόνον καθό ἐστι πέρας, ἢ ἀρχὴ τινὸς ἐνεργείας, ἢ πάθους, ὥσπερ τὸ πρόβατον γινώσκει τοῦτο τὸ ἀρνίον οὐ καθόσον ἐστὶ τοδὶ τὸ ἀρνίον, ἀλλὰ καθόσον ἐστὶ θηλαστὸν ὑπ' αὐτοῦ, καὶ ταύτην τὴν βοτάνην, καθόσον τροφή ἐστιν αὐτοῦ· ὅθεν τὰ ἄλλα ἄτομα, πρὸς ἅπερ οὐκ ἐκτείνει ἑαυτὴν ἡ ἐνέργεια, ἢ τὸ πάθος, οὐδένα τρόπον καταλαμβάνει τῇ φυσικῇ αὐτοῦ ὑπολήψει· φυσικὴ γὰρ ὑπόληψις δίδοται τοῖς ζῴοις, ἵνα δι' αὐτῆς πρὸς τὰς ἰδίας ἐνεργείας, ἢ τὰ πάθη, ἃ δεῖ φεύγειν, ἢ αἱρεῖσθαι, δύνηται τάττεσθαι.

---

13 *τὴν ἑαυτοῦ* B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Leçon XIV.

Οὗ μὲν οὖν ἐστιν ἡ ὄψις. Διακρίνας ὁ Φιλόσοφος τὰ ἴδια αἰσθητὰ ἀπὸ τῶν κοινῶν αἰσθητῶν καὶ ἀπὸ τῶν κατὰ συμβεβηκὸς αἰσθητῶν, ἐνταῦθα διορίζεται περὶ τῶν ἰδίων αἰσθητῶν καθ' ἑκάστην αἴσθησιν, καὶ περὶ τοῦτο ποιεῖ πέντε τινά· πρῶτον, διορίζεται περὶ τοῦ ἰδίου αἰσθητοῦ τῆς ὄψεως· δεύτερον, περὶ τοῦ ἰδίου αἰσθητοῦ τῆς ἀκοῆς, ἐν τῷ· Νῦν δὲ περὶ ψόφου· τρίτον, περὶ τοῦ ἰδίου αἰσθητοῦ τῆς ὀσφρήσεως, ἐν τῷ· Περὶ δὲ ὀσμῆς· τέταρτον, περὶ τοῦ ἰδίου αἰσθητοῦ τῆς γεύσεως, ἐν τῷ· Τὸ δὲ γευστόν ἐστι· πέμπτον, περὶ τοῦ ἰδίου αἰσθητοῦ τῆς ἁφῆς, ἐν τῷ· Περὶ δὲ ἁπτοῦ καὶ ἁφῆς. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, διορίζεται περὶ τοῦ ὁρατοῦ· δεύτερον, δείκνυσι πῶς ὁρᾶται τὸ ὁρατόν, ἐν τῷ· Νῦν δέ. Περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, φανεροῖ τί ἐστι τὸ ὁρατόν, διακρίνων εἰς δύο τὸ ὁρατόν· δεύτερον, διορίζεται περὶ ἑκατέρου ὁρατοῦ, ἐν τῷ· Τὸ γὰρ ὁρατόν. Λέγει τοίνυν πρῶτον, ὅτι ἴδια αἰσθητὰ εἰσὶν ὧν ἑκάστη ἰδίως ἀντιλαμβάνεται αἴσθησις· τοῦτο δὲ τὸ αἰσθητόν, οὗ ἰδίως ἀντιληπτική ἐστιν ἡ ὄψις, ἐστὶν ὁρατόν· ὑπὸ δὲ τὸ ὁρατὸν περιλαμβάνονται δύο· ὁρατὸν γάρ ἐστι τὸ χρῶμα καὶ ἄλλο τι, ὃ λόγῳ μὲν σημαίνεσθαι δύναται, οὐκ ἔχει δὲ ὄνομα ἴδιον ἐπιτεθειμένον αὐτῷ, ὃ δὴ ὁρατὸν ἁρμόζει τοῖς ἐν τῇ νυκτὶ φαινομένοις, ὥσπερ εἰσὶν αἱ λαμπυρίδες λεγόμεναι καὶ τὰ τοιαῦτα, περὶ ὧν ἔσται φανερὸν προελθοῦσιν ἐν ταύτῃ τῇ πραγματείᾳ μετὰ τὸ εἰσελθεῖν εἰς τὴν γνῶσιν τοῦ ὁρατοῦ ἐκ τῆς γνώσεως τοῦ χρώματος, ὅπερ ἐστὶν ἐναργέστερον ὁρατόν.

Τὸ γὰρ ὁρατόν. Ἐνταῦθα διορίζεται περὶ ἑκατέρου ὁρατοῦ, καὶ πρῶτον περὶ τοῦ χρώματος· δεύτερον, περὶ τοῦ ἀνωνύμου, ἐν τῷ· Οὐ πάντα δὲ ὁρᾶται. Καὶ περὶ τὸ πρῶτον αὖθις δύο ποιεῖ· πρῶτον, δείκνυσι πῶς ἔχει τὸ χρῶμα πρὸς τὸ εἶναι ὁρατόν· δεύτερον, διορίζεται περὶ τῶν ζητουμένων πρὸς τὸ ὁρᾶσθαι τὸ χρῶμα, ἐν τῷ· Ἔστι δή τι διαφανές. Φησὶ τοίνυν, πρῶτον, ὅτι, ἐπεὶ τὸ χρῶμα ὁρατόν τί ἐστιν, ἁρμόζει αὐτῷ εἶναι καθαυτό· τὸ γὰρ χρῶμα, ἐν τῷ εἶναι χρῶμα, ἔστιν ὁρατὸν καθαυτό· τὸ δὲ καθαυτὸ λέγεται διχῶς· ἕνα μὲν γὰρ τρόπον λέγεται πρότασις καθαυτήν, ἧς τὸ κατηγορούμενον πίπτει ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου, ὥσπερ αὕτη ἡ πρότασις· ὁ ἄνθρωπός ἐστι ζῷον· τὸ γὰρ ζῷον πίπτει ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου, διότι τὸ ὂν ἐν τῷ τινὸς ὁρισμῷ ἐστι τρόπον τινὰ αἰτία αὐτοῦ, καὶ ἐν τοῖς καθ' αὑτὸ λεγομένοις τοῦτον τὸν τρόπον τὸ κατηγορούμενον αἰτία ἐστὶ τοῦ ὑποκειμένου. Ἄλλον δὲ τρόπον λέγεται πρότασις καθαυτήν, ἧς τὸ ἀνάπαλιν τίθεται τὸ ὑποκείμενον ἐν τῷ ὁρισμῷ τοῦ κατηγορουμένου, ὥσπερ ἐὰν λέγηται· ἡ ῥὶν ἐστὶ σιμή,

5 *περὶ τοῦτο — τινά* om B 10 *αὖθις* avant *δύο* add B 11 *μὲν γὰρ* avant *διορίζεται* add B 20 blanc après *λεγόμεναι* A

ἢ· ὁ ἀριθμὸς ἐστὶν ἄρτιος· τὸ γὰρ σιμὸς οὐδὲν ἄλλο ἐστὶν ἢ ῥὶν συνιζηκυῖα, καὶ τὸ ἄρτιος οὐδὲν ἄλλο ἐστὶν ἢ ἀριθμὸς εἰς ἴσα διαιρούμενος· καὶ ἐν τούτοις τὸ ὑποκείμενον ἐστὶν αἰτία τοῦ κατηγορουμένου. Δεῖ τοίνυν νοεῖν, ὅτι τὸ χρῶμα ἐστὶν ὁρατὸν καθαυτὸ κατὰ τὸν δεύτερον τρόπον, οὐ τὸν πρῶτον· ἡ γὰρ ὁρατότης πάθος τί ἐστιν, ὥσπερ ἡ σιμότης παθός ἐστι τῆς ῥινός· καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι τὸ χρῶμα ἐστὶν ὁρατὸν καθαυτό, οὐ τῷ λόγῳ, τουτέστιν οὐχ οὕτως ὥστε τὸ ὁρατὸν τίθεσθαι ἐν τῷ ὁρισμῷ αὐτοῦ, ἀλλὰ διότι ἔχει ἐν ἑαυτῷ τὴν αἰτίαν τοῦ εἶναι ὁρατόν, ὥσπερ τὸ ὑποκείμενον ἐν ἑαυτῷ ἔχει τὴν αἰτίαν τοῦ πάθους αὐτοῦ, ὃ δείκνυσι διὰ τοῦ πᾶν χρῶμα εἶναι κινητικὸν τοῦ κατ' ἐνέργειαν διαφανοῦς, τόδε ἐστὶν ἀὴρ καὶ ὕδωρ· καὶ τοῦτ' ἔχει | τὸ χρῶμα ἐκ τῆς ἰδίας φύσεως, τὸ δύνασθαι f. 307v
κινεῖν τὸ ἐνεργείᾳ διαφανές· ἐκ δὲ τοῦ κινεῖν τὸ ἐνεργείᾳ διαφανές, ἔστιν ὁρατόν· ὅθεν ἕπεται τὸ κατὰ τὴν ἑαυτοῦ φύσιν τὸ χρῶμα εἶναι ὁρατόν. Καὶ ἐπεὶ τὸ διαφανὲς οὐ γίνεται ἐνεργείᾳ εἰ μὴ διὰ τοῦ φωτός, ἕπεται τὸ χρῶμα μὴ εἶναι ὁρατὸν ἄνευ φωτός· καὶ διὰ τοῦτο, πρὸ τοῦ δειχθῆναι πῶς τὸ χρῶμα ὁρᾶται, ῥητέον ἐστὶ περὶ τοῦ φωτός.

Ἔστι δή τι διαφανές. Ἐνταῦθα διορίζεται περὶ τῶν ὧν ἄνευ τὸ χρῶμα ὁρᾶσθαι οὐ δύναται, δηλονότι περὶ τοῦ διαφανοῦς καὶ τοῦ φωτός, καὶ διαιρεῖται εἰς τρία· πρῶτον γὰρ δείκνυσι τί ἐστι τὸ διαφανές· δεύτερον, διορίζεται περὶ τοῦ φωτός, ὅπερ ἐστὶν ἐντελέχεια αὐτοῦ, ἐν τῷ· Φῶς δέ ἐστιν ἡ τούτου· τρίτον, δείκνυσι πῶς τὸ διαφανές ἐστι δεκτικὸν τοῦ χρώματος, ἐν τῷ· Ἔτι δὲ χρώματος. Φησὶ τοίνυν πρῶτον ὅτι, ἐπειδὴ τὸ χρῶμα κινητικόν ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν τοῦ διαφανοῦς, ἀνάγκη ἐστὶ τὸ διαφανὲς εἶναί τι· ἔστι δὲ τὸ διαφανὲς ὅπερ οὐκ ἔχει ἴδιον χρῶμα, ὡς δύνασθαι κατ' αὐτὸ ὁρᾶσθαι, ἀλλ' ἔστι δεκτικὸν ἐξωτερικοῦ χρώματος, καθὸ τρόπον τινὰ ἐστὶν ὁρατόν. Τὸ δὲ τοιοῦτον διαφανές ἐστιν οἷον ἀὴρ καὶ ὕδωρ καὶ πολλὰ σώματα στερεά, ὥσπερ ὕελος καὶ κρύσταλλος. Εἰ γὰρ καὶ ἄλλα συμβεβηκότα, τὰ ἁρμόζοντα τοῖς στοιχείοις καὶ τοῖς ἐκ τῶν στοιχείων συγκειμένοις, προσήκουσιν αὐτοῖς ἐκ τῆς φύσεως τῶν στοιχείων, καὶ δὴ καὶ πρόσεισιν αὐτοῖς ὥσπερ τὸ θερμὸν καὶ ψυχρόν, τὸ βαρὺ καὶ κοῦφον καὶ τ' ἄλλα δὴ τὰ τοιαῦτα, τὸ διαφανὲς μέντοι οὐχ ἁρμόζει τοῖς προειρημένοις ἐκ τῆς φύσεως τοῦ ἀέρος, ἢ τοῦ ὕδατος, καθὸ τοιοῦτόν ἐστιν ἕκαστον αὐτῶν, ἀλλ' ἀκολουθοῦσι φύσει τινὶ κοινῇ, οὐ μόνον ἀέρι καὶ ὕδατι, ἅπερ εἰσὶ φθαρτά, ἀλλὰ καὶ τῷ οὐρανίῳ σώματι, ὅπερ ἐστὶν ἀΐδιόν τε καὶ ἄφθαρτον. Φανερὸν γάρ ἐστιν ἔνια σώματα οὐράνια εἶναι διαφανῆ· οὐ γὰρ ἠδυνάμεθα ἂν ὁρᾶν τοὺς ἀστέρας τοὺς πεπηγότας ἐν τῇ ὀγδόῃ σφαίρᾳ, εἰ μὴ αἱ χθαμαλώτεραι σφαῖραι τῶν πλανητῶν ἦσαν διαφανεῖς. Οὕτω τοίνυν φανερόν ἐστιν, ὅτι τὸ διαφανὲς οὐκ ἔστιν ἰδιότης

4 *κατὰ* après *οὐ* add A

ἑπομένη τῇ φύσει τοῦ ἀέρος ἢ τοῦ ὕδατος, ἀλλ᾿ ἀκολουθοῦσα κοινῇ τινι φύσει, ἧς ἐκ τῆς ἰδιότητος δεῖ τὴν αἰτίαν τῆς διαφανείας ἀποδιδόναι, ὡς μετὰ ταῦτα δειχθήσεται.

Φῶς δέ ἐστιν ἡ τούτου. Ἐνταῦθα δείκνυσι τί ἐστι τὸ φῶς· καὶ πρῶτον δείκνυσι τὴν ἀλήθειαν· δεύτερον, ἀποκλείει τὴν πλάνην, ἐν τῷ· Τί μὲν οὖν τὸ διαφανές. Φησὶ τοίνυν, ὅτι τὸ φῶς ἐστιν ἐνέργεια τοῦ διαφανοῦς, καθό ἐστι διαφανές. Φανερὸν γάρ ἐστιν, ὅτι οὔτε ἀὴρ οὔτε ὕδωρ οὔτε τι τοιοῦτόν ἐστιν ἐνεργείᾳ διαφανές, ἂν μὴ ᾖ πεφωτισμένον· αὐτὸ δὲ τὸ διαφανὲς καθαυτό ἐστιν ἐν δυνάμει καὶ πρὸς τὸ φῶς καὶ πρὸς τὸ σκότος, ὅπερ ἐστὶ στέρησις τοῦ φωτός, ὥσπερ ἡ πρώτη ὕλη ἐστὶν ὡς δύναμις πρός τε τὸ εἶδος καὶ πρὸς τὴν στέρησιν. Τὸ δὲ φῶς τοῦτον τὸν τρόπον παραβάλλεται πρὸς τὸ διαφανὲς ὥσπερ τὸ χρῶμα παραβάλλεται πρὸς τὸ πεπερασμένον σῶμα, διότι ἑκάτερον τούτων ἐστὶν ἐνέργεια καὶ εἶδος τοῦ ἰδίου δεκτικοῦ· καὶ διὰ τοῦτο φησὶν ὅτι τὸ φῶς ἐστὶν ὡσανεί τι χρῶμα τοῦ διαφανοῦς, καθὸ τὸ διαφανές ἐστιν ἐνεργείᾳ πεφωτισμένον ὑπό τινος σώματος λάμποντος ἐνεργείᾳ, εἴτε πῦρ εἴη, εἴτε τι ἄλλο τοιοῦτον, ὥσπερ οὐράνιόν τι σῶμα. Τὸ γὰρ εἶναι λάμπον ἐνεργείᾳ καὶ φωτιστικὸν κοινόν ἐστιν αὐτῷ καὶ τῷ οὐρανίῳ σώματι, ὥσπερ τὸ εἶναι διαφανὲς κοινόν ἐστιν ἀέρι καὶ ὕδατι καὶ τῷ οὐρανίῳ σώματι.

Ὅτι μὲν οὖν. Ἐνταῦθα ἀποκλείει τὴν ψευδῆ δόξαν περὶ τοῦ φωτός· καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅτι τὸ φῶς οὐκ ἔστι σῶμα· δεύτερον, ἀποδοκιμάζει λύσιν τινὰ πρός τινα λόγον, δι᾿ οὗ δύναται δείκνυσθαι τὸ φῶς μὴ εἶναι σῶμα, ἐν τῷ· Καὶ οὐκ ὀρθῶς Ἐμπεδοκλῆς. Καὶ περὶ τὸ πρῶτον αὖθις τρία ποιεῖ· πρῶτον, προτίθησι τὸν σκοπόν· δεύτερον, ἀποδείκνυσι τὴν θέσιν, ἐν τῷ· οὐδὲ γὰρ δύο· τρίτον, ἀποδείκνυσιν ὅτι τὸ φῶς ἐστὶν ὁμοῦ μετὰ τοῦ διαφανοῦς, ἐν τῷ· Δοκεῖ δὲ τὸ φῶς. Φησὶ τοίνυν ὅτι, ἐπεὶ εἴρηται τί ἐστι τὸ διαφανές, καὶ τί τὸ φῶς, ἐκ τούτου φανερόν ἐστιν ὅτι τὸ φῶς οὔτε πῦρ ἐστίν, ὥς τινες ἔλεγον τιθέντες τρία εἴδη πυρός, ἄνθρακα, φλόγα καὶ φῶς· οὔτε σῶμά τι ὅλως, οὐδέ τι ἀπορρέον ἀπό τινος σώματος, ὥσπερ ἔθετο ὁ Δημόκριτος τὸ φῶς εἶναί τινα τμήματα ἀπορρέοντα τῶν διαφανῶν σωμάτων ὥσπερ ἀτόμους τινάς. Εἰ γὰρ ἦσαν ἀπορροαί τινες σώματος, ἠκολούθησεν ἂν εἶναί τι σῶμα,
f. 308 καὶ οὕτως οὐδὲν ἄλλο ἦν ἂν τὸ φῶς | ἢ παρουσία πυρός, ἢ τοιούτου τινὸς σώματος ἐν τῷ διαφανεῖ. Οὐδὲν τοίνυν διαφέρει λέγειν ὅτι τὸ φῶς ἐστὶ σῶμα, καὶ ὅτι ἀπορροὴ σώματος.

Οὐδὲ γάρ. Ἐνταῦθα ἀποδείκνυσιν ὅπερ προέθετο τοιούτῳ λόγῳ. Ἀδύνατόν ἐστι δύο σώματα εἶναι ἅμα· εἰ τοίνυν τὸ φῶς ἐστι σῶμα, ἀδύνατόν ἐστι τὸ φῶς εἶναι ἅμα μετὰ τοῦ σώματος τοῦ διαφανοῦς· τοῦτο δὲ ψεῦδός ἐστι· τὸ φῶς ἄρα οὐκ ἔστι σῶμα.

6 *ἐστὶ* après *οὖν* add A

Ε.Υ.Δ της Κ.Τ.Ι
ΙΩΑΝΝΙΝΑ 2006